## *ΜΙϹΟΓΥΝΗϹ*

### 276 (325 K)

Clemens Alexandrinvs, *Stromateis* ii. 23. ὁ γοῦν κωμικὸϲ Μένανδροϲ καταδραμὼν τοῦ γάμου ἀλλὰ καὶ τὰ χρήϲιμα ἀντιτιθεὶϲ ἀποκρίνεται τῶι εἰπόντι

πρὸϲ τὸ πρᾶγμ᾽ ἔχω
κακῶϲ.
ἐπαριϲτέρωϲ γὰρ αὐτὸ λαμβάνειϲ.

εἶτ᾽ ἐπιφέρει·

τὰ δυϲχερῆ γὰρ καὶ τὰ λυπήϲοντά ϲε
ὁρᾶιϲ ἐν αὐτῶι, τὰ δ᾽ ἀγάθ᾽ οὐκ ἐπιβλέπειϲ.
εὕροιϲ δ᾽ ἂν οὐθὲν τῶν ἁπάντων, Ϲιμύλε,
ἀγαθόν, ὅπου τι μὴ πρόϲεϲτι καὶ κακόν.

Stobaevs, *Ecl.* iv. 22. 71. Μενάνδρου.

γυνὴ πολυτελήϲ ἐϲτ᾽ ὀχληρὸν οὐδ᾽ ἐᾶι
ζῆν τὸν λαβόνθ᾽ ὡϲ βούλετ᾽· ἀλλ᾽ ἕν ἐϲτί τι
ἀγαθὸν ἀπ᾽ αὐτῆϲ. παῖδεϲ. ἐλθόντ᾽ εἰϲ νόϲον
τὸν ἔχονθ᾽ ἑαυτὴν ἐθεράπευϲεν ἐπιμελῶϲ,
ἀτυχοῦντι ϲυμπαρέμεινεν, ἀποθανόντα τε
ἔθαψε, περιέϲτειλεν οἰκείωϲ. ὅρα
εἰϲ ταῦθ᾽ ὅταν λυπῆι τι τῶν καθ᾽ ἡμέραν·
οὕτω γὰρ οἴϲειϲ πᾶν τὸ πρᾶγμ᾽· ἂν δ᾽ ἐκλέγηι
ἀεὶ τὸ λυποῦν μηδὲν ἀντιπαρατιθεὶϲ
τῶν προϲδοκωμένων, ὀδυνήϲηι διὰ τέλουϲ.